1. Тукидид за речите :
Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι ἢ μέλλοντες πολεμήσειν ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν ἐμοί τε ὧν αὐτὸς ἤκουσα καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ' ἂν ἐδόκουν ἐμοὶ ἕκαστοι περὶ τῶν αἰεὶ παρόντων τὰ δέοντα μάλιστ' εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. τὰ δ' ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ οὐκ ἐκ τοῦ παρατυχόντος πυνθανόμενος ἠξίωσα γράφειν, οὐδ' ὡς ἐμοὶ ἐδόκει, ἀλλ' οἷς τε αὐτὸς παρῆν καὶ παρὰ τῶν ἄλλων ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών. thuc 1.22

2. Изследователи за тяхната “автентичност”
....“Единството на Историята едва ли би могло да се постигне чрез включването на 50 действително произнесени речи , без те да бъдат изменени съгласно плана на самата творба ...”
West, William C. , A bibliography of Scolarships on the the Speeches in Thucydides във The Speeches in Thucydides (ed. Stadter, P.A.) 124 –165 . A description and Listing .Chapel Hill : University of North Carolina Press, 1973 .

3.Откъси от антично ръководство за написване на надгробни речи :

Dionysii Halicarnassei Ars Rhetorica (Sp) 6.1-5 .
ἐπειδὴ τοίνυν ἀμφὶ ταφὴν δύο λόγοι μεμηχάνηνται, ὃ μὲν κοινὸς πρὸς πόλιν ἅπασαν καὶ δῆμον [ὁ μὲν] τοῖς ἐν πολέμῳ πεσοῦσιν, ἰδίᾳ δὲ καὶ καθ' ἕκαστον ἅτερος αὐτοῖν, οἷα δὴ τὰ πολλὰ ἐν εἰρήνῃ συμπίπτειν ἀνάγκη, ἐν διαφόροις ἡλικίαις ἑκάστῳ τῆς τελευτῆς συμπεσούσης· ὄνομά γε μὴν ἀμφοῖν □ν καὶ τὸ αὐτό, ἐπιτάφιος οὕτως ὀνομαζόμενος· παραδείγματα δὲ αὐτῶν ἔστί που καὶ παρὰ τοῖς ἀρχαίοις, τοῦ μὲν κοινοῦ καὶ πολιτικοῦ παρά γε τῷ τοῦ Ὀλόρου καὶ παρὰ τῷ τοῦ Ἀρίστωνος, Λυσίας τε καὶ Ὑπερείδης καὶ ὁ Παιανιεὺς καὶ ὁ τοῦ Ἰσοκράτους ἑταῖρος Ναυκράτης πολλὰς ἡμῖν τοιαύτας ἰδέας παρέσχοντο. οὐκ ἀπορήσομεν δὲ οὐδὲ τῶν πρὸς ἕκαστον· ἐπεί τοι καὶ τὰ ποιήματα μεστὰ τούτων, οἱ ἐπικήδειοι οὕτως ὀνομαζόμενοι θρῆ-

νοί τε· ὡς αὕτως πλοῦτος πολὺς τῶν καταλογάδην ἐστὶ
τοιούτων λόγων ἔν τε τοῖς πάλαι καὶ τοῖς ὀλίγον τι
πρὸ ἡμῶν γενομένοις· <οὐ> λήξομεν δὲ οὐδὲ νῦν, ἔστ'
ἂν γένος ἀνθρώπων καὶ τὸ χρεὼν ἐπικρατοῦν ᾖ.
μέτιμεν οὖν αὐτοῖν ἑκάτερον τὸν τρόπον τοῦτον.

Συνελόντι μὲν οὖν ὁ **ἐπιτάφιος ἔπαινός ἐστι** τῶν
κατοιχομένων. εἰ δὲ τοῦτο, δῆλόν που, ὡς καὶ **ἀπὸ**
**τῶν αὐτῶν τόπων ληπτέον, ἀφ' ὧν περ καὶ τὰ ἐγκώ-**
**μια· πατρίδος, γένους, φύσεως, ἀγωγῆς, πράξεως**. ἄχρι
μὲν οὖν τινὸς τὴν αὐτὴν ἰτέον, οἷον περὶ πατρίδος
λέγοντα, ὅτι μεγάλη καὶ ἔνδοξος καὶ ἀρχαία, καὶ εἰ
τύχοι αὐτὴ πρώτη παρελθοῦσα εἰς ἀνθρώπους, οἷα καὶ
Πλάτων περὶ τῆς Ἀττικῆς διέξεισιν· εἰ δὲ μικρά, ὅτι
διὰ τούτους ἤδη καὶ τὴν ἀρετὴν τὴν τούτων καὶ δόξαν
ἔνδοξος καὶ αὐτὴ ἐγένετο, οἷον ἡ Σαλαμὶς διὰ τὸν
Αἴαντα ἢ τὴν ἀρετὴν τῶν ναυμαχησάντων, καὶ ἡ Αἴγινα
διὰ τὸν Αἰακόν. ἢ εἴ τι βέλτιον περὶ αὐτῆς ἔχοιμεν
λέγειν εἰρημένον, ὥςπερ 'θείαν' τὴν Σαλαμῖνα εἶπεν
ὁ Πύθιος· ὅτι ἐκ θεοῦ ἐκτίσθη, ὥσπερ Ἰωνία, Βυ-
ζάντιον ἢ εἰ δή τις ἑτέρα πόλις. καὶ ἐπὶ μὲν τῶν
ἐν πολέμοις πεσόντων κἂν ἐπιδαψιλεύσαιτό τις ἐν τού-
τοις. ἐπὶ δὲ τῶν καθ' ἕκαστον οὐ πάνυ τι ἀναγκαῖος
ὁ πολὺς περὶ τῆς πατρίδος λόγος· ἰτέον οὖν ἐπὶ τοὺς
προγόνους, εἰ οἱ πρόγονοι μὴ ἐπήλυδες, ἀλλ' αὐτό-
χθονες· καὶ εἰ ἐπήλυδες, ἀλλὰ κρίσει τὴν ἀρίστην γῆν
λαβόντες, οὐ τύχῃ· καὶ ὅτι ἢ ἐκ τοῦ Δωρικοῦ γένους,
ὅ περ ἀνδρειότατον· ἢ ἐκ τοῦ Ἰωνικοῦ, ὅ περ σοφώ-
τατον, καὶ ὅτι Ἕλληνες. εἰ δὲ ἐπὶ τινὸς εὐκλείας λόγος
γίγνοιτο, ὅτι πατρὸς ἀγαθοῦ καὶ προγόνων, καὶ ἐν
βραχεῖ περὶ αὐτῶν εἰπεῖν τὸν ἔπαινον, ὁποῖοι δημοσίᾳ,
ὁποῖοι ἰδίᾳ, ὁποῖοι ἐν λόγοις, ὁποῖοι ἐν βίῳ, καὶ εἴ
τι ἐν ἔργοις ἢ ἐν πράξεσιν· ἢ εἴ τινα τοιαῦτα ἡ
ποιότης τοῦ προσώπου παρέχοι ἐκ τῆς φύσεως, ὅτι
εὐφυὴς εἰς πάντα, κοινὸς δὲ ὁ τοιοῦτος.

Ἐν δὲ τῇ **ἀγωγῇ** γενόμενοι ἐπὶ μὲν τῶν κοινῶν
τὴν πολιτείαν ληψόμεθα, ὅτι ἢ δημοκρατία ἢ ἀριστο-
κρατία· ἐν δὲ τοῖς ἰδίοις τὴν ἀνατροφὴν καὶ τὴν παι-
δείαν καὶ τὰ ἐπιτηδεύματα. ἐν δὲ ταῖς [κοιναῖς] πρά-
ξεσιν ὁ μὲν κοινὸς ἕξει τὰ κατὰ πολέμους ἔργα καὶ
ὅπως ἐτελεύτησαν, ὥσπερ ἀμέλει καὶ Πλάτωνί γε καὶ

Θουκυδίδῃ καὶ τοῖς ἄλλοις εἴρηται. ὁπόταν δὲ περὶ ἑνός τινος λέγωμεν, περὶ τῆς **ἀρετῆς** ποιησόμεθα τὸν λόγον, οἷον περὶ ἀνδρείας, περὶ δικαιοσύνης, περὶ σοφίας· ......
Μετὰ ταῦτα δὲ ἐν μὲν τοῖς κοινοῖς ἐπὶ **τὸ προτρεπτικὸν** μεταβησόμεθα, προτρέποντες ἐπὶ τὰ ὅμοια τοὺς ὑπολειπομένους. καὶ πολὺς ὁ τόπος οὗτος. εἶτα οὕτως ἐπὶ **τὸ παραμυθητικὸν** τῶν πατέρων, ὅσοι τε ἔτι παιδοποιεῖσθαι ἱκανοί, ὅσοι τε ἔξω τῆς ὥρας ταύτης· καὶ **εἴρηται ταῦτα καὶ παρὰ τῷ Θουκυδίδῃ.**
ἐν δὲ τοῖς ἰδίοις τὸ μὲν προτρεπτικὸν ἐνίοτε μὲν οὐδὲ ὅλως παραλαμβάνομεν διὰ τὸ τάχα ἂν εἰ τύχοι παῖδας εἶναι τοὺς κατοιχομένους· ἐνίοτε δὲ ἐπὶ βραχύ, πλὴν ἐπὶ τοῖς πάνυ ἐνδόξοις. ἐνταῦθα γὰρ οὐδὲν κωλύει καὶ ἐπὶ πλεῖον χρῆσθαι τῷ εἴδει, οἷον <εἰ> ἐπὶ ἄρχοντός τινος καὶ τοιούτου προσώπου ὁ ἐπιτάφιος γίνοιτο, ἀναγκαῖον παρακελεύεσθαι μιμεῖσθαι τοῖς παισὶν τοὺς ἑαυτῶν τοκέας, καὶ ἐπὶ τὰ ὅμοια σπεύδειν. ἀναγκαιότερος δὲ ὁ **παραμυθητικὸς** παραμυθουμένων ἡμῶν τοὺς προσήκοντας. δεῖ δὲ εἰδέναι καὶ τὴν μέθοδον τοῦ παραμυθητικοῦ· οὐ γὰρ θρηνεῖν οὐδὲ ἀπολοφύρεσθαι τοὺς ἀποθανόντας· οὐ γὰρ ἂν παραμυθοίμεθα τοὺς ὑπολειπομένους, ἀλλὰ μεῖζον τὸ πένθος παρασκευάζοιμεν· καὶ οὐ δόξει εἶναι τῶν κατοιχομένων ἔπαινος, ἀλλὰ ὀλοφυρμὸς ὡς τὰ δεινότατα παθόντων.
πειρᾶσθαι δὲ ἐν τῷ παραμυθεῖσθαι καὶ ἐνδιδόναι τοῦ πάθους τοῖς ὑπολειπομένοις, καὶ μὴ ἀντιτείνειν εὐθύς· ῥ ᾷον γὰρ ἐπαξόμεθα· ἅμα δὲ καὶ ἔπαινον ἕξει ὁ λόγος, εἰ λέγοιμεν, ὅτι οὐ ῥ ᾴδιον ἐπὶ τοῖς τοιούτοις ῥ ᾷον φέρειν. ἐπειδὴ δὲ οἱ ἐν πολέμῳ τελευτήσαντες ὅμοιοι ταῖς ἡλικίαις, οὐδὲν ἀπὸ τούτων ἕξομεν εἰς παραμυθίαν ἐπιχειρεῖν, πλὴν ὅτι ἐνδόξως ἀπέθανον ὑπὲρ τῆς πατρίδος καὶ οὗτοι, καὶ ὅτι ταχὺς καὶ ἀναίσθητος ὁ τοιοῦτος θάνατος, καὶ ἐκτὸς βασάνων καὶ τῶν κακῶν τῶν ἐκ τῆς νόσου· ὅτι δημοσίας ταφῆς ἔλαχον (ζηλωτὸν δὲ τοῦτο καὶ τοῖς μετὰ ταῦτα) καὶ ἀθάνατος αὐτῶν ἡ δόξα.

Ἐπὶ δὲ τοῖς καθ' ἕκαστον καὶ ἀπὸ τῶν ἡλικιῶν πολλὰς ἀφορμὰς παρέξει ὁ λόγος εἰς παραμυθίαν· εἰ μέν τις ἄφνω τελευτήσειεν καὶ ἀλύπως, ὅτι μακαρίως

αὐτῷ ἡ τελευτὴ συνηνέχθη· εἰ δέ τις νόσῳ καὶ πολὺν
χρόνον νοσήσας, ὅτι γενναίως ἐνεκαρτέρησεν τῇ νόσῳ·
ἢ εἴ τις ἐν πολέμῳ, ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος·
ἢ εἴ τις ἐν πρεσβείᾳ, ὅτι ὑπὲρ τῆς πόλεως· .....

4. Части на надгробната реч (*според Циолковски* )

| дялове | Горгиас[1] | Тукидид | Лизий | Платон Менексен | Демостен | Хиперид |
|---|---|---|---|---|---|---|
| prooemium | | 35 | 1 - 2 | 236d-237b | 1-3 | 1-9 |
| Epainos | 1-20 | 36-42 | 3 -70 | | 4-31 | 10-40 |
| (Threnos ) | | | 71 - 76 | | | |
| paramythia | | 43-45 | 77 - 80 | 246b2-249 c | 32-37 | 41-43 |
| epilogos | | 46 | 81 | 249c | 37 | |

5. platonis Menexenus 236 8
ΣΩ. ..... Ἀσπασίας δὲ
καὶ χθὲς ἠκροώμην περαινούσης ἐπιτάφιον λόγον περὶ αὐτῶν
τούτων. ἤκουσε γὰρ ἅπερ σὺ λέγεις, ὅτι μέλλοιεν Ἀθηναῖοι
αἱρεῖσθαι τὸν ἐροῦντα· ἔπειτα τὰ μὲν ἐκ τοῦ παραχρῆμά μοι
διῄει, οἷα δέοι λέγειν, τὰ δὲ πρότερον ἐσκεμμένη, ὅτε μοι
δοκεῖ συνετίθει τὸν ἐπιτάφιον λόγον ὃν Περικλῆς εἶπεν,
περιλείμματ' ἄττα ἐξ ἐκείνου συγκολλῶσα.....

.... ἀλλ' ἄκουε. ἔλεγε γάρ, ὡς ἐγῷμαι, ἀρξαμένη
λέγειν ἀπ' αὐτῶν τῶν τεθνεώτων οὑτωσί.

[1] според W. Vollgraff, L'oraison funebre de Gorgias . Leiden 1952 p 172

Ἔργῳ μὲν ἡμῖν οἵδε ἔχουσιν τὰ προσήκοντα σφίσιν αὐτοῖς, ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν, προπεμφθέντες κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ὑπὸ τῶν οἰκείων· λόγῳ δὲ δὴ τὸν λειπόμενον κόσμον ὅ τε νόμος προστάττει ἀποδοῦναι τοῖς ἀνδράσιν καὶ χρή. ἔργων γὰρ εὖ πραχθέντων λόγῳ καλῶς ῥ ηθέντι μνήμη καὶ κόσμος τοῖς πράξασι γίγνεται παρὰ τῶν ἀκουσάντων· δεῖ δὴ τοιούτου τινὸς λόγου ὅστις τοὺς μὲν τετελευτηκότας ἱκανῶς ἐπαινέσεται, τοῖς δὲ ζῶσιν εὐμενῶς παραινέσεται, ἐκγόνοις μὲν καὶ ἀδελφοῖς μιμεῖσθαι τὴν τῶνδε ἀρετὴν παρακελευόμενος, πατέρας δὲ καὶ μητέρας καὶ εἴ τινες τῶν ἄνωθεν ἔτι προγόνων λείπονται, τούτους δὲ παραμυθούμενος. τίς οὖν ἂν ἡμῖν τοιοῦτος λόγος φανείη; ἢ πόθεν ἂν ὀρθῶς ἀρξαίμεθα ἄνδρας ἀγαθοὺς ἐπαινοῦντες, οἳ ζῶντές τε τοὺς ἑαυτῶν ηὔφραινον δι' ἀρετήν, καὶ τὴν τελευτὴν ἀντὶ τῆς τῶν ζώντων σωτηρίας ἠλλάξαντο; δοκεῖ μοι χρῆναι κατὰ φύσιν, ὥσπερ ἀγαθοὶ ἐγένοντο, οὕτω καὶ ἐπαινεῖν .....

6.Библиография (*като отправна точка*)


a. Blass .F Die attische Beredsamkeit . 3 vols. Leipzig 1887 – 1898

b. Maas, Paul . s.v. “threnos” Paulys Real-Encyclopaedie der classischen Altertumswissenschaft ,edd. G.Wissowa ....

c. Thalheim s.v.“epitaphios” ibidem

d. Ziolkowski , John .Thucydides and the Tradition of funeral speaches at Athens . NewYork 1981

както и

G. Kennedy, The Art of Persuasion in Greece (1963), 154 ff.;

F. Jacoby, JHS 1944, 37 ff. (= Abhandlungen 260 ff.);

K. Dover, Lysias (1968), 61–7 and Greek Popular Morality (1974), 266;

L. Coventry, JHS 1989, 1 ff.